*σθαι καὶ ἐπιθυμεῖν, ὅσων τε δεῖ καὶ ὅτε χρή· ὥσπερ γὰρ ἡ νήτη συμφθέγγεται τῇ ὑπάτῃ καὶ τὸν αὐτὸν ἀφίησιν αὐτῇ φθόγγον, εἰ καὶ ὀξύτερον, οὕτως καὶ ἡ ἐπιθυμία πρὸς τὸν λόγον συνάπτεται. εἶδος δὲ ἡ δικαιοσύνη καὶ σωφροσύνη. ποιητικὸν δὲ αἴτιον ἡ ἐμφιλόσοφος ζωή. παράδειγμα δὲ ὁ κόσμος· πρὸς γὰρ τὸ πᾶν τὸ εὐταξίας γέμον τάττει πάντα ὁ πολιτικός, κόσμος γὰρ τὸ πᾶν τοῦτο κατὰ Πλάτωνα, οὐκ ἀκοσμία. ὄργανον δὲ τὰ ἤθη καὶ ἡ παιδεία. τέλος δὲ τὸ ἀγαθόν. ἰστέον δὲ ὅτι τὸ ἀγαθὸν διττόν ἐστι, τὸ μὲν γινομένοις ἡμῖν, τὸ δὲ ἀπογινομένοις ἐρχόμενον· τὸ μὲν οὖν γινομένοις ἐστὶ τὸ πολιτικόν, τὸ δὲ ἀπογινομένοις τὸ θεωρητικόν. πρὸς μὲν οὖν τὸν Γοργίαν περὶ τοῦ ποιητι-* 6
*κοῦ διαλέγεται, πρὸς δὲ τὸν Πῶλον περὶ τοῦ εἰδικοῦ, πρὸς δὲ τὸν Καλλικλέα περὶ τοῦ τελικοῦ. πλὴν εἰ καὶ τοῦτο οὕτως ἔχῃ, οὐ δεῖ θαυμάζειν εἰ πάντα ἐν πᾶσιν φαίνεται· ἐν γὰρ τῷ ποιητικῷ καὶ τὰ ἄλλα εὑρίσκεται καὶ ἐν τοῖς ἄλλοις πάντα· κοινωνία γάρ τίς ἐστι καὶ πεφοιτήκασι δι᾽ ἀλλήλων, ἀπὸ δὲ τοῦ πλεονάζοντος τὴν τάξιν εἰλήφασιν.*

*Ἐντεῦθεν τοίνυν καὶ ἡ διαίρεσις ἀναφαίνεται τοῦ διαλόγου· εἰς τρία γὰρ διῄρηται, εἰς τοὺς πρὸς Γοργίαν λόγους καὶ εἰς τὸ μέρος τὸ ἔχον τοὺς πρὸς τὸν Πῶλον καὶ εἰς τὸ πρὸς τὸν Καλλικλέα.*

**mg. 9** (mg. sup.) *τὸ ἀγαθὸν διττόν*

*γινομένοις — ἡμῖν — ἀπογινομένοις*

*πολιτικόν* *θεωρητικόν*

**19** *γ′ – διαίρεσις*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404559387/11 UNIVERSITÄT LEIPZIG